
ΤΗ ΚΔ΄ ΤΟΥ ΑΥΤΟΥ ΜΗΝΟΣ ΔΕΚΕΜΒΡΙΟΥ

† Μνήμη τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐγενίας.


ΟΡΘΡΟΣ

Ἦχος λ̈ η̈ Πα



Στίχος 1. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ. (Τὸ ὡς ἄνω)


Στίχος 2. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ Ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.



Στίχος 3. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. (Τὸ ὡς ἄνω)

Ἀπολυτίκιον

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.




Δόξα Πατρὶ... (Τὸ ὡς ἄνω)

Ἀπολυτίκιον, Προεόρτιον.

Ἦχος δ΄ Δι

Καὶ νῦν...



Ἦχος α΄.

Τὸν τάφον Σου, Σωτήρ.

Σὺν δούλων σου στερρῶν ξυνωρίδι Βασίλᾳ, τῇ νύμφῃ τοῦ Χριστοῦ, καὶ Φιλίππῳ, πατρί σου, ἐνήθλησας ἄριστα, Εὐγενία πανεύφημε, καὶ ἐδόξασας ἀγωνισμάτων σου ἄθλοις τὸν δοξάσαντα σὲ θαυμασίων πληθύϊ, Χριστόν, τὸν Θεάνθρωπον.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον.

Γενέθλια Χριστοῦ, τοῦ Υἱοῦ σου Παρθένε, ἡμῶν τοῦ Λυτρωτοῦ καὶ Σωτῆρος, ἐκθύμως νῦν προεορτάζοντες νοῦν ἡμῶν ἀνατείνομεν, Μῆτερ ἄφθορε, ἐπὶ τὴν φάτνην σπηλαίου, ἵνα ἴδωμεν ἐν Βηθλεὲμ τὸν Δεσπότην ἀφράστως τικτόμενον.

Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ψυχῆς σου εὐγένειαν καὶ εὐμορφίαν σαρκός, ὡς προῖκα πολύτιμον προσενεγκοῦσα Χριστῷ, Νυμφίῳ τῷ θείῳ σου, ἤσκησας ἐν σεμνείῳ ἀνδρικῷ καὶ ἀνδρείως, ἤνεγκας μαρτυρίου, Εὐγενία, τοὺς πόνους· διὸ διπλοῖς στεφάνοις Χριστὸς κάραν σου ἔστεψε.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. *Θεοτοκίον.*

Παλάτιον ἔμψυχον Παμβασιλέως Χριστοῦ, ἁγνὴ ἀειπάρθενε, Ὃν οὐ χωρεῖ οὐρανὸς ἐχώρησε μήτρα σου, σάρκα βροτῶν λαβόντα ἵνα γένος θεώσῃ τὸ ἐκπεσὸν δωμάτων οὐρανίων δι΄ ἄκραν, συμπάθειαν, ἁγνή, πατρικὴν καὶ ἀγαθότητα.

Μετὰ τὸν Πολυέλεον

Κάθισμα.

Ἦχος γ΄.

Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Ψυχῆς εὐγένειαν σῆς ἐπιδείξασα, καὶ θεῖον φρόνημα κοσμοῦν σε ᾗσχυνας, ἀεὶ πτερνίζοντα ἡμῶν τὸ φύραμα, Εὐγενία, ἀνδρικοῖς καμάτοις σου καὶ ἀθλήσεως πόνοις σου· ὅθεν μελῳδοῦντές σου μνήμην τὴν ἀεισέβαστον, ψυχῆς ἐν κατανύξει βοῶμεν· χαῖρε, στερρὰ ὁσιομάρτυς.

Δόξα. *Τὸ αὐτό.*


Καὶ νῦν. *Θεοτοκίον.*


Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου,


ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.


Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου.

Ἦχος γ΄ τος











Προκείμενον Ἦχος δ΄



Στιχ. **Κ**αὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.


Τό τρίτον.



Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου
Πᾶσα Πνοὴ Αἰνεσάτω

Ὁ Διάκονος: Τοῦ Κυρίου δεηθῶμεν


Ὁ Χορός:




Ὁ Ἱερεύς: Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ...

Ὁ Χορός:










(Δίς)


Τὸ τρίτον





Ὁ Διάκονος: Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι .. Ὁ χορός:






Ὁ Διάκονος: Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Ὁ Ἱερεύς: Εἰρήνη πᾶσι.

Ὁ Χορός: 

Ὁ Ἱερεύς: Ἐκ τοῦ κατὰ (...) Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

Ὁ Διάκονος: Πρόσχωμεν.

ὁ Χορός: 

Ὁ Ἱερεύς: (Ἀνάγνωσις Εὐαγγελίου)

Ὁ Χορός: Δόξα Σοι, Κύριε, δόξα Σοι.

Ὁ Ν΄ ψαλμός χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ, πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.


Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.


Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.


Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Ἦχος Δι


Δο ξα Πα τρι και Υι ω και Α
γι ω Πνευ μα τι



Ταις της Α θλη φο ο ρου πρε σβει αις ε
ε λε η μον ε ξα λει ψον τα πλη θη των ε
μω ων εγ κλη μα των


Και νυν και α ει και εις τους αι ω νας
των αι ω νων Α μην



Ταις της Θε ο το ο κου πρε σβει αις ε
ε λε η μον ε ξα λει ψον τα πλη θη των ε
μω ων εγ κλη μα των

Εἶτα ψάλλομεν τὸ Ἰδιόμελον.
Ἦχος πλ. β΄.




σου ου ου κα τη η ηυ φρα α α νας συ
γαρ υ πο μει να σα συ κο φαν τι αν α
σελ γου ους Με ε ε λαν ϑι ας μη γνου σης την
γυ ναι κει α αν σου ου φυ σιν και αν δρο
πρε πως α ϑλη η σα α α σα δι πλων η
ξι ω ω ϑη η ης στε φα νων εν ου ρα
νι ι ι ω πα στα α α δι ε εν ϑα
Χρι στω ω ω πρε σβεύ εις υ πε ερ των τι μων
τω ων την μνη η η μη η ην σου ου ου ου
ου

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου... Κύριε, ἐλέησον (ιβ΄).



Ὠδὴ α΄

Ἦχος πλ. β΄. Ὁ Εἱρμὸς

«Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι διώκτην τύραννον, Φάτνῃ κρυπτόμενον, κτεῖναι ζητεῖ ὁ Ἡρῴδης· ἀλλ΄ ἡμεῖς σὺν Μάγοις μέλψωμεν· τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται».

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Κύριε Θεέ μου, Γενέθλιον ὕμνον καὶ προεόρτιον, ᾠδήν σοι ᾄσομαι, τῷ τῇ Γεννήσει σου θείαν, ἀναγέννησιν διδόντι μοι, καὶ εἰς τὴν προτέραν με, εὐγένειαν ἀνάγοντι.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἄνω σε ἐν θρόνῳ, καὶ κάτω ἐν φάτνῃ, τὰ ὑπερκόσμια, καὶ τὰ περίγεια, κατανοοῦντα Σωτήρ μου, κατεπλήττοντο τὸ κράτος σου· ὑπὲρ νοῦν ὡράθης γάρ, διπλοῦς φύσει Θεάνθρωπος.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἵνα σου τῆς δόξης, τὰ πάντα πληρώσῃς, κλίνας ἐλήλυθας, τοὺς οὐρανοὺς ἕως γῆς· ὡς γὰρ ἐν πόκῳ κατέβης, ὑετὸς ἐν μήτρᾳ Παρθενικῇ, ἐξ ἧς νῦν τεχθήσεσθαι, διπλοῦς ἔρχῃ Θεάνθρωπε.

Ἕτερος Κανὼν Προεόρτιος,
Ὠδὴ α΄ Ἦχος β΄
Ἐν βυθῷ κατέστρωσε ποτέ,

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀπεγράφης Καίσαρος θεσμῷ, θέλων ἀπογράψασθαι, βίβλῳ ζωῆς παμβασιλεῦ τὸν ἄνθρωπον, ξένος εἰς τὰ ἴδια παραγέγονας, τὸν δεινῶς ξενιτεύσαντα, ἐκ τοῦ Παραδείσου, εἰς τὸν οὐρανὸν ἀνακαλούμενος. (Δὶς)

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βηθλεὲμ ὑπόδεξαι Χριστόν· σοὶ γὰρ σωματούμενος, ἐπιδημεῖ τὴν Ἐδὲμ ἐξανοίγων μοι, εὐτρεπίζου Σπήλαιον, τὸν ἀχώρητον θεωρῆσαι χωρούμενον, ἐν σοὶ παραδόξως, πλούτῳ εὐσπλαγχνίας νῦν πτωχεύσαντα.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Γεννηθῆναι ἔρχεται Χριστός, ξένην ἀναγέννησιν, τοῖς ἐξ Ἀδάμ, ὡς ἀγαθὸς δωρούμενος, εὐφράνθητι ἔρημος, ἡ οὐ τίκτουσα, τῶν βροτῶν φύσις ἅπασα, ἦλθεν ὁ Δεσπότης, σὲ πολυτεκνοῦσαν ἀπεργάσασθαι.

Εἶτα ὁ Κανὼν τῆς Ὁσιομάρτυρος,
Ὠδὴ α΄.
Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Εὐγένειαν δείξασαν ψυχῆς αὐτῆς ἐκ νεότητος, τῶν χρόνων τιμήσωμεν θεοτερπέσιν ᾠδαῖς, ὁσιόαθλον παρθένον, Εὐγενίαν, ἀνδρείως ἀσκήσασαν καὶ ἐναθλήσασαν.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ὑπέρλαμπρον ἄγαλμα τῆς τοῦ Χριστοῦ ἀγαπήσεως, σοφίας, συνέσεως, ἀσκητικῆς ἀγωγῆς, καὶ ἀθλήσεως ἀρίστης, Εὐγενία, πιστοὺς κατηγλάϊσας τῇ πολιτείᾳ σου.

Δόξα...

Γαυρίαμα θραύσασα τοῦ μισοκάλου ἀλάστορος, φρονήσει ἐνθέῳ σου καὶ ἀγωγῇ ἀκραιφνεῖ, Ῥώμης βλάστημα εὐῶδες, Εὐγενία, ὁδμαῖς ἀριστείας σου κόσμον κατηύφρανας.

Καὶ νῦν... Θεοτοκίον.

Εὐρύχωρον σκήνωμα τοῦ Θεανθρώπου, ἐχώρησας ἐν μήτρᾳ πανσέπτῳ σου Αὐτόν, Ὃν γῇ Ἐφραθᾶ, ὑπεδέξατο ὡς βρέφος, Θεοτόκε, χερσὶ τὸν συνέχοντα κόσμου τὰ πέρατα.

Προεόρτιος

Ὠδὴ γ΄. Ἦχος πλ. β΄. Ὁ Εἱρμὸς

«Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, ἐν τῷ Σπηλαίῳ τικτόμενον, θαμβητικῶς συνείχετο· Οὐκ ἔστιν Ἅγιος πλήν σου Κύριε κραυγάζουσα».

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σύμβολα τῆς ἀρρήτου, σαρκώσεως, παραδεικνὺς Οἰκτίρμον, ἐπλήθυνας ὁράσεις, καὶ προφητείας ἐνέπνευσας· ἃς νῦν ἐλθὼν ἐπλήρωσας, σαρκὶ τικτόμενος, Κόρης ἐξ ἁγνῆς ἐν πόλει Δαυΐδ.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἥπλωσε γῆ τὰ νῶτα, καὶ δέχεται δεχόμενον τὸν Κτίστην, τὴν δόξαν ἐξ Ἀγγέλων, ἐξ οὐρανοῦ τὸν ἀστέρα δέ, ἐκ τῶν Ποιμένων αἴνεσιν, ἐκ Μάγων δῶρά τε, κόσμου τε παντὸς ἐπίγνωσιν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μάντεως χρησμολόγου, προβλήματα Βαλαὰμ νῦν πληροῦνται· ἀνέτειλε γὰρ ἄστρον, ἐξ, Ἰακὼβ καὶ ὡδήγησε, πρὸς τὸν τῆς δόξης Ἥλιον, δῶρα κομίζοντας, Μάγους ἐκ Περσίδος ἄνακτας.

Ἕτερος

Ἦχος β΄. Ἐξήνθησεν ἡ ἔρημος

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δεσμῶν ἀπολυτρούμενος, τῶν κακῶν με Κύριε, ἐνειληθῆναι σπάργανα, ὥσπερ βρέφος, ἔρχῃ φιλάνθρωπε· προσκυνῶ σου τὴν θείαν συγκατάβασιν. (Δὶς)

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐν χρόνῳ γεγονότα σε, τὸν ἀχρόνως λάμψαντα, ἐκ τοῦ Πατρὸς προέρχεται, ἡ Παρθένος τεκεῖν τὰ χρόνια, διαλύοντα πάθη τῶν ψυχῶν ἡμῶν.

Στίχ. Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ζητῶν με τὸν πλανώμενον, παραβάσει Σπήλαιον, ὡς οὐρανὸν κατῴκησας, τὰς μονὰς μοι εὐτρεπιζόμενος, τὰς ἐκεῖθεν οἰκτίρμον Πολυέλεε.

Ὠδὴ γ΄.

Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ῥοός σου τὴν ἔφεσιν ἐκθύμως ἀνέτεινας πρὸς τὸν Λυτρωτήν, ἐν οὐρανοῖς Νυμφίον σου τὸν ποθεινόν, πανάριστε, δι΄ Ὃν μνηστῆρα βρότειον καὶ πᾶσαν τέρψιν κατέλιπες.

Στίχ. Ἁγία τοῦ Θεοῦ πρέσβευε ὑπέρ ἡμῶν.

Ἰσχύος πλησθεῖσα οὐρανίου σὺν τῷ Ὑακίνθῳ καὶ Πρωτᾷ, τοῖς δούλοις σου, κατέλιπες Φιλίππου, σοῦ γεννήτορος, τὸν οἶκον καὶ κατῴκησας εἰς ἀνδρικὸν φροντιστήριον.

Δόξα...

Ἁγνείας θεόφρον Εὐγενία, θησαύρισμα καὶ πολυτελές, ἀνάκτορον συνέσεως, ὑπείκουσα τοῖς φθέγμασι, Ἑλένου τοῦ παμμάκαρος, φύσιν τὴν σὴν ὑπερέβαλλες.

Καὶ νῦν... Θεοτοκίον.

Νῦν γέννησιν Τόκου σου τοῦ θείου, ἐν φάτνῃ σπηλαίου Βηθλεέμ, Παρθένε, ἑορτάζοντες, ἀεί σε μακαρίζομεν, ὡς σωτηρίας πρόξενον ἡμῶν τοῦ γένους γηθόμενοι.

Κάθισμα.

Ἦχος γ΄.

Θείας πίστεως.

Χαῖρε, σέμνωμα σεπτῶν παρθένων, ἀγαλλίαμα σεμνῶν ὁσίων καὶ περίλαμπρον μαρτύρων ὡράϊσμα, θεοειδὲς Εὐγενία, πανεύφημε, Κυρίου νύμφη ἁγνὴ καὶ πανάμωμε, πόθῳ κράζοντες πρεσβείας σου ἐξαιτούμεθα πρὸς μόνον σῴζειν ἅπαντας δυνάμενον.

Δόξα. Τὸ αὐτό.

Καὶ νῦν. Προεόρτιον.

Σάρκα βρότειον δι΄ εὐσπλαγχνίαν, ἄκραν πάνσεμνε ἐκ τῆς γαστρός σου τῆς ἀμώμου ὁ Θεάνθρωπος ἔλαβεν, ἵνα θεώσῃ ἀνθρώπινον φύραμα τὸ εὐλαβῶς μακαρίζον σε, Δέσποινα, καὶ δοξάζον σου τὸν Τόκον τὸν ὑπερθαύμαστον, Οὗ ἄγγελοι δοξάζουσι τὴν γέννησιν.

Κοντάκιον.

Ἦχος πλ. δ΄. τῇ Ὑπερμάχῳ.

Τὴν ἐν νεότητι τρωθεῖσαν θείῳ ἔρωτι, καὶ ὑπερβᾶσαν φύσιν θήλεος τιμήσωμεν, δι΄ ἀγάπην οὐρανίου αὐτῆς Νυμφίου, Εὐγενίαν, τὴν σεμνὴν παρθενομάρτυρα, ὡς ὁσίων ἀθληφόρων ἐγκαλλώπισμα, πόθῳ κράζοντες· Χαίροις, Μῆτερ θεόλεκτε.

Ὁ Οἶκος.

Ἄγγελοι, Εὐγενία, τὴν ἀνδρείαν ψυχῆς σου ἐθαύμασαν ἐν πόνοις καὶ ἄθλοις σῆς ἀσκήσεως τῆς θεαυγοῦς καὶ τοῦ μαρτυρίου τοῦ στερροῦ, εὔψυχε· διό σε μακαρίζοντες κραυγάζομεν φωναῖς αἰσίαις·

Χαῖρε, ὁ θεῖος βλαστὸς τῆς Ῥώμης

Χαῖρε, τὸ εὖχος τῆς σωφροσύνης.

Χαῖρε, τοῦ Ὑψίστου τῆς πίστεως κόσμημα·

Χαῖρε, τοῦ ἐπάρχου Φιλίππου ἐκβλάστημα.

Χαῖρε, στῦλος ὁσιότητος καὶ ἀθλήσεως κανών·

Χαῖρε, φάρος γενναιότητος καὶ φρονήσεως λειμών.

Χαῖρε, Ἀλεξανδρείας πολυτίμητον γέρας·

Χαῖρε, τῆς παρθενίας θεοτίμητον κέρας.
Χαῖρε, ψυχῆς ἀνδρείας ὑπέρβασις·
Χαῖρε, σεπτῆς ἀσκήσεως ἔλλαμψις.
Χαῖρε, δι΄ ἧς ἐδοξάσθη ὁ Κτίστης·
Χαῖρε, δι΄ ἣν μεγαλύνεται κτίσις·
Χαῖρε, μῆτερ θεόλεκτε.

Συναξάριον

Τῇ ΚΔ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας Ὁσιοπαρθενομάρτυρος Εὐγενίας καὶ τῶν σὺν αὐτῇ.

Στίχοι

Στεφθεῖσα πρῶτον τοῖς πόνοις Εὐγενία,
Βαφὴν ἐβάψω δευσοποιὸν ἐκ ξίφους.
Τέτλαθι Εὐγενίη ξίφος εἰκάδι ἀμφὶ τετάρτῃ.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ Ἁγία Μάρτυς Βασίλλα, ἡ συμμαρτυρήσασα τῇ Ἁγίᾳ Εὐγενίᾳ, ξίφει τελειοῦται.

Στίχοι

Τὶς ἂν παραδράμῃ σε τμηθεῖσαν ξίφει,
Μάρτυς Βασίλλα, πίστεως θείας βάσις;

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Φίλιππος, ὁ πατὴρ τῆς Ἁγίας Εὐγενίας, ξίφει τελειοῦται.

Στίχοι

Μάχαιραν ὄντως δίστομον κατὰ πλάνης,
Κτείνει Φίλιππον τῆς μαχαίρας τὸ στόμα.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι, Πρωτᾶς καὶ Ὑάκινθος, οἱ εὐνοῦχοι καὶ συνασκηταὶ τῆς Ἁγίας Εὐγενίας, ξίφει τελειοῦνται.

Στίχοι

Τμηθέντες, Ὑάκινθε καὶ Πρωτᾶ ξίφει,
Κληροῦσθε πρῶτα Μαρτύρων Θεοῦ γέρα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικολάου μοναχοῦ, τοῦ ἀπὸ στρατιωτῶν, καὶ διήγησις ὠφέλιμος.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Ἀχαϊκὸς ξίφει τελειοῦται.

Στίχοι

Πᾶν Ἀχαϊκὸς ἐκβαλὼν ψυχῆς ἄχος,
Ὅλῃ χαρᾷ δέδωκε τὴν κάραν ξίφει.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Ἀντίοχος ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι

Ἀντιόχῳ βδέλυγμα τύρβαι τοῦ βίου,
Καὶ βίος ἅπας, ὃν παρῆλθεν ἡδέως.


Οἱ Ὅσιοι Βιτιμίων καὶ Ἀφροδίσιος, ἐν εἰρήνῃ τελειοῦνται.


Ὁ ἅγιος νεομάρτυς Ἀχμὲτ ὁ μαρτυρήσας ἐν Κωνσταντινουπόλει κατὰ τὸ 1682, ξίφει τελειοῦται.


Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.


ΚΑΤΑΒΑΣΙΑΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ


Ἦχος δ΄ Πα




Ὁ α΄ χορός
α νυ ψω σας το κε ρας η μων
Α
γι ος ει Κυ υ ρι ι ε
Ὠδὴ δ΄
Ῥα βδος εκ της ρι ζης Ι εσ σαι και αν
θος εξ αυ της Χρι στε εκ της Παρ θε νου α
νε βλα στη σας εξ ο ο ρους ο αι νε τος
κα τα σκι ι ου δα σε ος ηλ θες σαρ κω θεις εξ
α πει ραν δρου ο α α υ λος και Θε ος
Δο ξα τη δυ να μει σου Κυ υ ρι ι ε
Ὠδὴ ε΄
Θε ο ος ω ω ω ων ει ρη η η η
νης Πα τηρ οι κτιρ μων της με γα λης Βου
λη ης σου τον Αγ γελον ει ρη νην πα ρε ε


χο με νον α πε ε στει λας η μιν ο
θεν θε ο γνω σι ας προς φως ο δη γη θεν τες
εκ νυ κτος ορ θρι ζον τες δο ξο λο γου
μεν σε φι λα αν θρω ω πε
Ὠδὴ στ΄
Σπλαγχνων Ι ω ναν εμ βρυ ον α πη
με σεν ε να λι ος θηρ οι οι ον ε
δε ξα το τη Παρ θε νω δε ε νοι κη σας
ο Λο γος και σα αρ κα λα βων δι ε λη λυ
θε φυ λα ξας α δι α φθο ρον
η ης γαρ ουχ υ πε στη ρευ σε ως την
τε κου σαν κα τε σχεν α πη η μα αν τον


Ὠδὴ ζ΄
Οι Παι δες ευ σε βει α συν τρα φεν τες
δυ υσ σε βους προ σταγ μα τος κα τα φρο νη
σαν τες πυ ρο ος α πει λην ουκ ε πτο
η ϑησαν αλλ᾽ εν με σω της φλο γος ε
στω τες ε ψαλ λον Ο των Πα τε ε ρων Θε
ος ευ λο γη το ος ει
Ὠδὴ η΄
Αι νου μεν ευ λο γου μεν και προ
σκυ νου μεν τον Κυ ρι ον
Θαυ μα τος υ περ φυ ους η δρο σο βο
λος ε ξει κο νι σε κα μι νος τυ πον
ου γαρ ους ε δε ξα το φλε γει Νε ους ως



Τὴν Θεοτόκον καὶ Μητέρα

Τιμιωτέρα πρώτου ἤχου.

Ἦχος Πα

Στίχος α΄

Με γα λυ νει η ψυ χη μου τον

Κυ υ ρι ον και η γαλ λι α σε το

πνευ μα μου ε πι τω Θε ω τω σω τη ρι

μου

Την Τι μι ω τε ε ραν των Χε ρου

βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ


κρι ι τως των Σε ρα φειμ την α δι α φθο


ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε


ο το κον Σε με γα λυ νο μεν

Στίχος β΄

Ο τι ε πε βλε ψεν ε πι την


τα πει νω σιν της δου λης αυ του ι δου γαρ
α πο του νυν μα κα ρι ου σι με πα σαι
αι γε νε αι
Την Τι μι ω τε ε ραν των Χε ρου
βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Στίχος γ΄
Ο τι ε ποι η σε μοι με γα
λει α ο Δυ να τος και α γι ον το
ο νο μα αυ του και το ε λε ος αυ



του εις γε νε αν και γε νε αν τοις φο βου με
νοις αυ τον
Τ ην Τι μι ω τε ε ραν των Χε ρου
βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Στίχος δ΄
Θ οι η σε κρα τος εν βρα χι
ο νι αυ του δι ε σκορ πι σεν υ πε
ρη φα νους δι α νοι α καρ δι ας αυ των
Τ ην Τι μι ω τε ε ραν των Χε ρου


βει ει ει ειμ και εν δο ξο τε ε ραν α συγ
κρι ι τως των Σε ρα φειμ την α δι α φθο
ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον Σε με γα λυ νο μεν
Στίχος ε΄
Κα θει λε δυ να στας α πο θρο
νων και υ ψω σε τα πει νους πει νων τας ε
νε ε πλη σεν α γα θων και πλου τουν τας ε
ξα πε στει λεν κε νους
Τ την Τι μι ω τε ραν των Χε ρου βειμ
και εν δο ξο τε ραν α συγ κρι τως των Σε ρα
φειμ την α δι α φθο ρως Θε ον Λο γον



τε κου σαν την ον τως Θε ο το κον Σε με γα λυ


νο μεν


Στίχος στ΄ Ἄν τε λα βε το Ι σρα ηλ παι


δος αυ του μνη σθη η ναι ε λε ε ους κα


θως ε λα λη σε προς τους πα τε ρας η


μων τω Α βρα αμ και τω σπερ μα τι αυ του


ε ως αι ω νος



Τ ην Τι μι ω τε ραν των Χε ρου βειμ


και εν δο ξο τε ραν α συγ κρι τως των Σε


ρα φειμ την α δι α φθο ρως Θε ον Λο


γον τε κου σαν την ον τως Θε ο το κον Σε με γα

Εἶτα ψάλλεται
ἡ θ΄ ᾠδὴ τοῦ κανόνος



Ἐξαποστειλάριον.

Γυναῖκες ἀκουτίσθητε.


Εὐτάκτως ἀνυμνοῦμέν σε, παρθένων ὡς καλλώπισμα, ἀσκητριῶν θεοφόρων πολυτιμότατον ὄλβον καὶ στερροψύχων σέμνωμα, ἀθλητριῶν, πανένδοξε, Ἀλεξανδρείας καύχημα, θεοειδὲς Εὐγενία, καὶ Ῥώμης γόνε καὶ γέρας.

Προεόρτιον.

Ὁλόφωτον παλάτιον, Χριστοῦ τοῦ Παντοκράτορος, ἐν Βηθλεὲμ ἀνεδείχθη ἀλόγων ζώων ἡ φάτνη, ἐν ᾗ Αὐτόν, Πανάχραντε Παρθένε, ἐσπαργάνωσας, τὸν Κτίστην καὶ Παντάνακτα, τὸν Πλαστουργὸν καὶ Σωτῆρα καὶ Λυτρωτὴν τῶν ἁπάντων.


ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἦχος λ̈ Νη







Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καί
ψάλλομεν Σπιχηρὰ Προσόμοια.
Ἦχος πλ. δ΄.
Ὦ τοῦ παραδόξου θαύματος.




Μάρτυς Εὐγενία, πάνσεμνε, ἁγνὴ Κυρίου ἀμνάς, Ῥώμης γόνε περίδοξε, εἰς τὴν Αλεξάνδρειαν σῷ πατρὶ ἠκολούθησας, ἐν ᾗ σοφίαν πᾶσαν τὴν θύραθεν, λαβοῦσα ὤφθης κρηπὶς συνέσεως, γνώσεως οἴκημα θεϊκῆς περίλαμπρον καὶ ἀρετῆς θείας ἐνδιαίτημα· διὸ τιμῶμέν σε.






Μάρτυς Εὐγενία, κόσμημα, τῆς Ἐκκλησίας Χριστοῦ, ξυνωρίδι σὺν δούλων σου εἰς μονὴν κατέφυγες ἀνδρικὴν φύσιν κρύπτουσα, σὴν γυναικείαν, ἔνθα ἀσκήσεσι,συντόνοις πάντας αὐτῆς οἰκήτορας, καὶ σοῖς παλαίσμασιν ἄνδρας ὑπερέβαλες τῆς σῆς μονῆς ἀνδρικοῖς σου, ἔνθεε Χριστοῦ ἀσκήτρια.




Μάρτυς Εὐγενία, πρότυπον ἀσκητικῆς ἀγωγῆς, ἀσελγεῖς συκοφάντας σου πάντας κατετρόπωσας ἐπιδείξει σῆς φύσεως, τῆς γυναικείας καὶ κατηγλάϊσας, ἀζύγων δήμους τοὺς γνόντας πόνους σου, τῆς ἐνασκήσεως, οὕσπερ ἔτλης, ἔνδοξε, διὰ Χριστοῦ, τοῦ σεπτοῦ


Νυμφίου σου, ἀγάπην, πάγκαλε.



Μνήμην σου τὴν πανσεβάσμιον μελισταγέσιν ᾠδαῖς, καταστέφομεν σήμερον, Εὐγενία εὔτολμε, τὴν λαμπρὰν προεόρτιον, Χριστοῦ ἡμέραν σεπτῆς γεννήσεως, ἐκ τῆς Παρθένου Θεογεννήτορος· ὅθεν τιμῶντές σε ὡς ὁσιομάρτυρα θεοφιλῆ, τὸν ἐνανθρωπήσαντα Θεὸν δοξάζομεν.


Ἦχος λ̈ π̈ Νη̈



Δο ο ο ο ξα Πα τρι ι ι
και αι γι υι ω ω ω ω και α γι ι ω ω
Πνε ε ε ε ε ευ μα α α α α Πνε ευ μα τι
Ὡς α ει φω τον σε λας ψυ χι κης Ευ
γε ε ει ει ει ας λαμ πα δα φρο ο νη σε ε ως
αν δρι κη ης φω ω το ο ο λα α α αμ
προν και α θλη τι κων κα τορ θω μα α α
των φεγ γος τη λαυ γε ε ε ε στα α α α τον
α νε λαμ ψας τη Ε ε εκ κλη η σι ι ι α
του ου ρα νι ου σου ου ου ου Ν υυμ φι


ι ι ου Ευ γε νι α της πι στε ω ως
ε ε ε ρει ει ει ει σμα φω τι σα σα
ουν παν τας σω ω ω σϑε ε ε νει και ϑει α α
χα α ρι ι τι α αγ γε ε λω ων δη η η
μοι οις χο ρο βα τειν η η η ξι ι ω ω ω
ϑης εν τω ου ρα νι ι ι ι ι ι ω ω
νυ υ υμ φω ω ω ω ω νι ε εν ϑα Κυ ρι
ι ω ω πρε ε σβε ε ευ ει εις υ πε ερ των
τι μω ω ων τω ω ω ων την μνη η η η
μη η η ην σου

Καὶ νῦν. Προεόρτιον.


Ἦχος ὁ αὐτὸς.






δος το τρισ σο κλε ε ον δω ω ρον προ σκο μι
ι ι ι σα α α α τε ποι με ε νε ες α α
γραυ λου ου ουν τε ες τον τρι σα γι ι ον υ μνον
με λω δη η η σα α α α τε πα α
σα α πνο ο η αι νε σα α α α τω το ον
παν του ου ουρ γε ε ε ε την


ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ
ΗΧΟΣ ΠΛ. Δ΄


Ἦχος λ̈ ν̈η





Πνευμα
Κυριε ο Θεος ο αμνος του Θεου ο
Υιος του Πατρος ο αιρων την αμαρ
τιαν του κοσμου ελεησον ημας
ο αιρων τας αμαρτιας του κοσμου
Προσδεξαι την δεησιν ημων ο κα
θημενος εκ δεξιων του Πατρος και
ελεησον ημας
Οτι συ ει μονος Αγιος Συ ει μονος
Κυριος Ιησους Χριστος εις δοξαν Θε



ου Πατροςαμην
Καθ ε καστην η μεραν ευ λο γη σω
σε και αι νε εσω το ο νο μα σου εις τον αι
ω ω να και εις τον αι ω να του αι ω ω
νος
Κα τα ξι ωσον Κυ ρι ε εν τη η με
ρα ταυ τη α να μαρ τη τους φυ λα χθη ναι
η μας
Θυ λο γη τος ει Κυ ρι ε ο Θε ος
των πα τε ε ρων η μων και αι νε τον και
δε δο ξα σμε νον το ο νο μα α σου εις τους


αι ω ω νας α μην
Γε ε νοι το Κυ ρι ε το ε λε ος σου
εφ η μας κα θα α περ ηλ πι σα μεν ε πι
σε
Θυ λο γη τος ει ει Κυ ρι ε δι δα ξο ον
με τα δι και ω μα τα α σου (τρίς)
Κυ ρι ε κα τα φυ γη ε γεν νη η θης η
μιν εν γε νε α και γε νε α ε γω ει
πα Κυ ρι ε ε λε η σον με ι ι α σαι
την ψυ χη ην μου ο τι η μαρ το ον σοι
Κυ ρι ε προς σε κα τε ε φυ γον δι δα ξο ον


με του ποι ειν το θε λη μα σου ο τι συ
ει ει ο Θε ος μου
Ο τι πα ρα σοι πη γη ζω ης εν
τω φω τι σου ο ψο με θα φως
Πα ρα τει ει νον το ε λε ος σου τοις γι
νω σκου σι σε
Ἅ γι ος ο Θε ος Ἅ γι ος Ι σχυ ρος
Α γι ος α θα να τος ε λε η σον η μας (τρίς)
Δο ξα Πα τρι ι και Υι ω και α γι ω
Πνευ μα τι
Και νυ υν και α ει και εις τους αι



ω ναςτων αι ω ωνωναμην
Ἅγι ος α θα ναατοςε λε η σονημας

Ἀσματικόν


Ἅγι οος ο Θε ε ος
Ἅγι οος Ι σχυ ρος
Ἅγι ι ι ος Α α θα α α α α
να α α α α τος ε λε ε ε ε η σο ο
ο ο ο ον η η μα α α α α α ας

Ἀπολυτίκιον


Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.




Εἰς τήν Θείαν Λειτουργία

ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ


Ἦχος πλ. Νη




ΕΤΕΡΑ




4. 
Κυ ρι ε ε ε λε η σο ο ον


5. 
Κυ ρι ε ε λε ε η σον

6. 
Κυ ρι ε ε λε ε ε η σον

7. 
Κυ ρι ε ε λε η σον

8. 
Κυ ρι ε ε λε η σον

9. 
Κυ ρι ε ε λε η σον


10. 
Κυ ρι ε ε λε ε η σον

11. 
Κυ ρι ε ε λε ε ε η σον

12. 
Cοι Κυ ρι ε

Ἀντίφωνον α΄

Ἦχος Δι




τερ σω σον η μας

Σπ/χ. γ΄ Κυ ρι ος εν τω ου ρα νω


η τοι οι μα σεν τον θρο νον αυ του και η


Βα σι λει α αυ του παν των δε σπο ζει

Ταις πρε σβει αις της Θε ο το κου Σω


τερ σω σον η μας

Σπ/χ. δ΄ Ευ λο γει τε τον Κυ ρι ον παν



τα τα ερ γα αυ του εν πα ντι το πω


της δε σπο τει ας αυ του


Ταις πρε σβει αις της Θε ο το κου Σω



τερ σω σον η μας


Δόξα... Καὶ νῦν...





Ἀντίφωνον β΄







Ι α κωβ βο η θος αυ του η ελ πις
αυ του ου ε πι Κυ ρι ον τον Θε ον αυ
του
Σω σον η μα ας Υι ε Θε ου ο εν
Α γι ι ι οις θα αυ μα στο ο ο ο ος
ψαλ λον τας σοι αλ λη λού ι α
Σπ/χ. γ΄.
Τον ποι η σαν τα τον ου ρα
νον και αι την γην την θα λασ σαν και πα αν
τα τα εν αυ τοις
Σω σον η μα ας Υι ε Θε ου ο εν
Α γι ι ι οις θα αυ μα στο ο ο ο ος



ψαλλοντας σοι αλληλουϊα
Σπ/χ. δ΄.
Βασι λευ σει Κυ ριος εις τον
αι ωνα ο Θεος σου Σι ων εις γε νε
αα αν και γε νε αν
Σω σον η μας Υι ε Θε ου ο εν
Αγι ι οις θα αυ μα στο ο ο ος
ψαλλοντας σοι αλληλουϊα
Δο ξα Πα τρι και Υι ω και Αγι
ω Πνευ μα τι
Και νυν και αει και εις τους αι αι
ω νας των αι αι ω νων Αμην


Ο μο νο γε νης Υι ος και Λο γος
του Θε ου α θα να τος υ πα α α αρ χων
και κα τα δε ξα με νος δι α την η με
τε ραν σω τη ρι ι αν σαρ κω θη η ναι
εκ της Α γι ας Θε ο το κου και α ει
παρ θε νου Μα ρι ας α τρε ε πτως εν
αν θρω πη σας σταυ ρω θεις τε Χρι στε
ο Θε ος θα να α τω ω θα να τον πα τη σας
ει εις ων της Α γι ας Τρι α δος συν
δο ξα ζο ο με νος τω Πα τρι και τω Α
γι ω Πνευ μα τι σω σον η μα α ας

Ἀντίφωνο γ΄. Ἦχος πλ. α΄.




Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.



Εἰσοδικόν

Ἦχος Δι




Ἀπολυτίκιον, Προεόρτιον.

Ἦχος δ΄ Δι




Ἀπολυτίκιον τῆς Ἁγίας Εὐγενίας
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.



Ἀπολυτίκιον τοῦ Ναοῦ.

ΚΟΝΤΑΚΙΟΝ
ΠΡΟΕΟΡΤΙΟΝ ΤΩΝ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ

Ἦχος Γα



ΑΠΟΣΤΟΛΙΚΟΝ ΑΝΑΓΝΩΣΜΑ ΤΗΣ ΑΓΙΑΣ

Προκείμενον. Ἦχος δ΄

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα 3:23-29, 4:1-5

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ κατ᾽ ἐπαγγελίαν κληρονόμοι. Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ


ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Ἀλληλούϊα. Ἦχος δ΄

Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.


Ἦχος λ̈ ζ̈ Πα


Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Κυ ρι ε ε ε λε η σον
Οι Κυ ρι ε
Ἀ μη η η η ην
Και τω πνευ μα τι ι ι ι ι σϑ
Οι οι οι οι οι Κυ ρι ε
Ἕτερον.
Οι Κυ ρι ε ε ε ε ε ε
Ἀ α α μην


Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.
Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον,
καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν,
καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.


ΕΙΣ ΑΓΙΟΣ

Ἦχος πλ. δ΄ Πα Ἐναρμόνιος




Ἦχος γ΄



Θι ει ει ει ει εις Α α α α
γι ι ι ος ει ει ει ει ει εις
Κυ υ υ υ υ ρι ι ι ος Ι η σους
Χρι ι στος εις δο ο ο ξαν Θε ου Πα τρος
Α α μην


Ἦχος λ̇ π̈ Πα
Ἄ α α νες Α α α φες Συγ
χω ω ρησον Ο Θε ε ε ος Τα Πα
ρα α πτω ω μα α τα Η μων Τα
Ε κου ου σι ι ι α τα α κου ου
ου σι ι ι α τα εν γνω ω ω σει και τα εν
α γνοι οι οι οι οι οι οι οι οι α τα α εν
νυ υ κτι και ε ε εν η η με ε ε ε
ρα τα κα τα νουν και δι α α νοι οι αν τα
πα αν τα η μιν συγ χω ω ω ρη σον ως
α γα θο ος και αι αι φι λα α α α
αν θρω ω ω πο ο ο ος

Χριστέ το φῶς τό ἀληθινόν.


Ἦχος λ̈ Πα





η μω ω ων προς ερ γα σι ι ι αν τω
ω ω ων ε εν το ο ο λω ω ω ων σου
πρε σβει ει αις της πα να χρα αν του ου ου
σου ου Μη η η τρος και πα αν τω ων
σου ου των Α γι ω ω ων α μην

Εἰς Μνημόσυνον...
Κωνσταντίνου Πρίγγου
Ἄρχοντος Πρωτοψάλτου τ.Μ.τ.Χ.Ε.


῾Ηχος $\frac{\text{ⷯ}}{\text{ⷯ}}$ Πα ᾽Εκτασις. $\frac{\text{ⷯ}}{\text{χ}} - \frac{\pi'}{\text{ⷯ}}$





ω ω ω ω ω ω ω ω ω ω ω ω
ω ω ω ω ω αι ω ω ω ω ω ω
ω ω ω ω ω ω ω ω ω ω ω ω
ω νι ι ι ι ι ι αι ω ω ω ω ω ω
ω νι ι ι ο ον ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε σται δι ι ι ι και
αι αι ο ο ο ο ο ος Αλ λη λου ου ου
ου ι ι ι α α α α α α α α
α


Εἴδομεν τὸ φῶς τό ἀληθινόν

Ἦχος δ΄




Εἰς τό· Πάντοτε, νῦν καὶ ἀεί…





αι νε σε ως σου Κυ ρι ε ο πως υ μνη
σω μεν την δο ο ξαν σου ο τι η ξι ω
σας η μας των α γι ων σου με τα σχειν
μυ στη ρι ι ι ι ων τη ρη σον η μας
εν τω σω α γι α σμω ο λην την η
με ραν με λε ταν την δι και ο συ νην σου
Αλ λη λου ι α Αλ λη λου ι α Αλ λη
λου ου ι α α α

Εἴη τό ὄνομα...

Ἦχος Δι



Τόν Εὐλογούντα...



Ἦχος Βαρύς Ζω Κε Πα να γι ι α Δε

ε σποι να υ πο την σκε ε πην σου παν τες

οι δου ου λοι οι σου τρε ε χο μεν και πα ρα α

κα λου ου μεν σε ε ε οι οι α να α ξι οι

προ φθα σον και λυ τρω σε η μας α πο πα

σης πε ρι στα α σε ως και α πο θα α να τον τον

ε ξα α φνι κο ο ον και αι πα νο ο λε θρον

οι δα μεν ο ο τι δυ υ να σαι παν τα ο σα

αν θε ε ε λει εις και βου ου λε σαι Δε ε σποι


να α του κο ο ο σμου ελ πις και προ στα σι ι


α των πι στων Κε χα ρι τω με ε νη η ε


Π
Z
Π
π
q
πα α κου σον των πα ρα α κα λου ουν των σε
Z
M
z
z
ε ε ε ε ε ε ε ε ε

Θεοτοκία εἰς ἦχον Βαρύν
Μή καταπιστεύσεις με


Ἦχος Βαρύς ⁓ Ζω




μυ θι ι ι αν ουκ εχω πλη ην σου Δε ε
σποι να του κο ο οσμου ελ πις και προ στα σι
ι α των πι στων μη μου πα ρι ι δης την
δε ε η σι ι ιν το ο συμ φε ε ρον ποι η η
σον

Μεταβολή τῶν θλιβομένων

Ἦχος Βαρύς Ζω



Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.